Ακαδημία Αθηνών / Academy of Athens

*καὶ* Σ ή ψ ι ε ς *ἔργα τε ῥευστὰ Ἄτης ἀν λειμῶνα κατὰ σκότος ἠλάσκουσιν.* Πρβλ. *ἄσηπτος, σαπέν, σηπεδών.*

**σίδη.** Ρόδι, pomegranate, Ἐμπεδοκλῆς 80 *ὀψίγονοί τε* σ ί-δ α ι.

**σίδηρος.** Σίδηρος, iron, Μέλισσος 8(2)-(3) *εἰ γὰρ ἔστι γῆ καὶ ὕδωρ καὶ ἀὴρ καὶ πῦρ καὶ* σ ί δ η ρ ο ς *καὶ χρυσὸς ... ἀλλ' ὅ τε* σ ί δ η ρ ο ς *σκληρὸς ἐὼν τῷ δακτύλῳ κατατρίβεσθαι ὁμουρέων, καὶ χρυσὸς καὶ λίθος καὶ ἄλλο ὅ τι ἰσχυρόν.*

**σκαληνός.** Ἀνώμαλος/μὴ κανονικός, uneven/not regular, Δημόκριτος Α 135 (DK II 118,18-19-23) ἀλλ' ἐπ' ἐνίων μὲν σ κ α-λ η ν ῶ ν, ⟨ἐπὶ δὲ πλείστων οὐ σ κ α λ η ν ῶ ν⟩, διὸ οὐδὲ πολυκαμπῶν (βούλεται δὲ σ κ α λ η ν ὰ λέγειν ἅπερ περιπάλαξιν ἔχει πρὸς ἄλληλα καὶ συμπλοκήν) ... οὐ σ κ α λ η ν ῶ ν δὲ διὰ τὸ μὴ περιπαλάττεσθαι.

**σκέλος.** Σκέλος, leg, Ξενοφάνης 6.1 *πέμψας γὰρ κωλῆν ἐρίφου* σ κ έ λ ο ς *ἤραο πῖον* Διογένης 6.4-17 *τείνουσι* (sc. *φλέβες*) *διὰ τῆς κοιλίας παρὰ τὴν νωτιαίαν ἄκανθαν, ἡ μὲν ἐπὶ δεξιά, ἡ δ' ἐπ' ἀριστερά, εἰς τὰ* σ κ έ λ η *ἑκατέρα τὰ παρ' ἑαυτῇ καὶ ἄνω εἰς τὴν κεφαλὴν παρὰ τὰς κλεῖδας διὰ τῶν σφαγῶν ... αἱ δὲ εἰς τὰ* σ κ έ-λ η *τείνουσαι σχίζονται κατὰ τὴν πρόσφυσιν, καὶ διὰ παντὸς τοῦ μηροῦ τείνουσιν.*

**σκέπτεσθαι.** Σκέπτομαι, think, Ἀρχύτας 1.11 *πρᾶτον μὲν οὖν* ἐ σ κ έ ψ α ν τ ο, *ὅτι οὐ δυνατόν ἐστιν ἦμεν ψόφον μὴ γενηθείσας πληγᾶς τινων ποτ' ἄλλαλα.*

**σκεῦος.** Σκεῦος, vessel, Δημόκριτος 159.7 *ὥσπερ ὀργάνου τινὸς ἢ* σ κ ε ύ ο υ ς *κακῶς ἔχοντος τὸν χρώμενον ἀφειδῶς αἰτιασάμενος.* Πρβλ. *ὄργανον.*

**σκῆνος.** Σῶμα, body, Δημόκριτος 37 *ὁ τὰ ψυχῆς ἀγαθὰ αἱρεόμενος τὰ θειότερα αἱρέεται· ὁ δὲ τὰ* σ κ ή ν ε ο ς *τὰ ἀνθρωπήϊα*

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ